ἱερουργοῦντες μὲν τῇ τοῦ διδασκάλου κλήσει καὶ ὀνομασίᾳ τὸ δῶρον, δι' αὐτοῦ δὲ εἰς υἱοθεσίαν τοὺς ἀξιουμένους τῆς καθάρσεως διδάσκοντες καταλέγεσθαι· υἱοὺς δὲ Θεοῦ κατὰ χάριν ἐκεῖνον μόνον δύνασθαι ποιεῖν, ᾧ κατὰ φύσιν τε καὶ ἐξ ἀϊδίου τὸ τῆς υἱότητος καὶ θεότητος ἐνυπῆρχεν ἀξίωμα, δι' οὗ καὶ τὸ ὁμογενὲς πατρί, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι συνθεωρεῖται καὶ συναναφαίνεται· οἱ τοίνυν τὴν υἱοθεσίαν διὰ τοῦ υἱοῦ πιστεύσαντες δέξασθαι, οὐδ' ὅτε Θεός ἐστιν ὁ ταύτην δωρούμενος, βραδεῖς ἂν ὀφθεῖεν συγκατατίθεσθαι. Οὕτω μὲν οὖν ἐπῆλθέ τισι τὴν ἀπορίαν ἐπιλύεσθαι.

§. β'. Ἐγὼ δὲ οὐκ εἰμι δυνατὸς συνορᾶν, πῶς ἄν τις μᾶλλον δι' ἑτέρων ἢ διὰ τούτων ἀντὶ τοῦ λύειν, δεσμὸν ἐπιβάλλειν πειραθείη, οὐκ ἀσθενέστερον τοῦ προτέρου συμπλέκων 1), τὸ ἄπορον· κατασκευὴ γὰρ μᾶλλον ἂν εἴη τοῦτο καὶ αἰτία τῆς τῶν μαθητῶν διαφωνίας πρὸς τὸν διδάσκαλον· ἡ γὰρ αἰτία τοῦ διαφωνεῖν, οὔμενουν, οὐκ ἔστι τῆς διαφωνίας ἀναίρεσις, ἀλλ' [οἷα τε] 2) καὶ κρίσιν ταύτῃ συνάπτειν, καὶ τοῦ δεσποτικοῦ φρονήματος διὰ μελέτης τὸ οἰκεῖον ἀνθαιρεῖσθαι· τί δ' ἂν καὶ ἕτερον τῶν κατεπειγόντων μᾶλλον εἴη τῆς θεολογούσης ἐκφαντορίας, καὶ τὸ τῆς τριάδος ὁμοφυὲς καὶ ὁμοδύναμον συνεπτυγμένοις ἀνακαλυπτούσης ὀνόμασι, καὶ τότε μυσταγωγουμένοις οὐκ ἐν ἀρχῇ, οὐ τῶν μαθητῶν ἐν τῷ ἀτελεῖ διακειμένων ἔτι, οὐδὲ τῶν ἑκουσίων καὶ σωτηρίων παθῶν ἐπιτελεῖσθαι μελλόντων, καὶ συσκιάζεσθαι τῷ καιρῷ τὴν ἀκρίβειαν 3) τῆς ἐν κρίσει διδασκαλίας ἀπαιτούσης, ἀλλὰ μετὰ τὸν σταυρόν, μετὰ τὸν θάνατον 4), μετὰ τὴν ταφήν, μετὰ τὸ σκυλευθῆναι τὰ τοῦ ᾅδου βασίλεια, καὶ δεσμοῖς ἀλύτοις παραδοθῆναι τὸν πολέμιον τοῦ γένους ἡμῶν, ἡνίκα τοῦ τάφου ἀνέστη, καὶ τὴν κοινὴν ἀνάστασιν ἀνεκαίνισε, τότε δὴ τότε τὴν ἐξουσίαν ἁπάντων τῶν οὐρανίων καὶ τῶν ἐπιγείων, ὁ φύσει ταύτην ἔχων τῇ θεϊκῇ, καὶ κατὰ τὸ ἀνθρώπινον ἀναδεξάμενος 5), τότε τὸν βασιλικὸν τοῦτον καὶ σωτήριον νόμον οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ κρείττοσιν, ἢ μετέχειν ὕλης ἐπιγείου, ταῖς τῶν ἀποστόλων διανοίαις ἐνεχάραξεν, οἱονεὶ προθέματά τινα δι' αὐτῶν καὶ προγράμματα ἀνὰ πᾶσαν ἁπλώσας τὴν οἰκουμένην, καθ' ἃ καὶ μυεῖσθαι καὶ τελειοῦσθαι τοὺς προσιόντας ἔδει τὴν εὐσέβειαν· «πορευθέντες γάρ, φησί, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν (δηλονότι καὶ πρὸ τῶν ἄλλων τὸ νῦν εἰσφερόμενον) πάντα, ὅσα ἐνετειλάμην ὑμῖν».

§. γ'. Τούτου δὴ τοῦ ἱεροῦ καὶ σωτηρίου προστάγματος τί ἂν εἴη κατεπεῖγον μᾶλλον; τί δαὶ κρίσεως ἀνθρωπίνης δεόμενον, τῆς δεσποτικῆς φωνῆς ἱερολογούσης τὸ δόγμα, καὶ σφραγῖδος πάσης ἀσφαλέστερον τὴν ψῆφον αὐτῷ περιτιθεμένης; Καί τοι γε εἰ καὶ ἄμφω τὸ κατεπεῖγον ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ διενέμοντο χρείᾳ, ὅ τε σωτήριος, φημί, νόμος, καὶ τῶν μαθητῶν ἡ γνώμη, οὐδέτερον δὲ πρὸς ἕτερον 6) διεφέρετο νόημα, οὐδ' οὕτως ἦν ἀνεκτὸν τῆς δεσποτικῆς μυσταγωγίας τὴν ὑπηρετοῦσαν γλῶσσαν ἔμπροσθεν ποιεῖν. Εἰ δὲ τῇ θέσει τῶν μαθητῶν ἡ τοῦ διδασκάλου ἀναίρεσις ἕπεται, πῶς οὐκ εἰς τόλμαν ἥκει, δι' ἧς ὑβρίζεται τῆς συγγνώμης ἡ χάρις, τὴν μὲν δεσποτικὴν κρίσιν μὴ τῶν κατεπειγόντων εἶναι νομίζειν, τὴν δὲ τῶν δούλων ἐπίνοιαν τῶν κατεπειγόντων, καὶ παρορᾶν μέν, οὗ μή ἐστι χωρὶς ἀπονοίας ὁμολογεῖν τὴν παρόρασιν, στέργειν δὲ καὶ προτιθέναι, ἧς ἡ κρίσις, δίκη τοῦ κρίναντος; Ἀλλὰ γὰρ αὐτοί γε περιφανῶς οὕτω τοσαύτης καὶ τηλικαύτης ἐντολῆς ἰσχὺν παρορῶντες καὶ παραβαίνοντες, εἰ ὡς ἀληθῶς ἦσαν τῆς παραβάσεως ἔνοχοι 7), πῶς ἂν ἠδύναντο τοὺς τῶν ἱερῶν μαθημάτων ἀκροατὰς παραινεῖν ταῖς δεσποτικαῖς ἐντολαῖς πειθαρχεῖν καὶ καταρρυθμίζεσθαι, καὶ τῆς οἰκείας πολιτείας κατὰ ταύτας ποιεῖσθαι τὴν ἐπιμέλειαν; ἴσον γάρ ἐστι διὰ τῆς τῶν ἐντολῶν ἀθετήσεως πειρᾶσθαι φύλακας τῶν προσταγμάτων ποιεῖν, καὶ ἀθετεῖν αὐτοὺς ἀπαιτεῖν τὸ ἐν παραβάσει ἀπαράβατον· οὗ τί ἂν ὁ ἐχθρὸς εὑρήσοι μᾶλλον, δι' οὗ καὶ τὴν διδασκαλίαν ἐπαρθήσεται νοθεύειν, καὶ τὴν ἐσχάτην ὕβριν προσάψασθαι τῷ κηρύγματι;

§. δ'. Ταῦτα τοίνυν καὶ πολλὰ τοιαῦθ' ἕτερα διὰ τῶν εὐσεβῶν καὶ ἀδεκάστων προϊόντα λογισμῶν, καὶ τὴν νομισθεῖσαν λύσιν αἰτιώμενα, ἄλλην τινὰ θεωρίαν τοῦ ζητήματος ἀνιχνεύειν ὑποτίθεται, δι' ἧς καὶ τὸ τῆς ἀπορίας δυσπρόσοδον ἐπὶ τὸ λεῖον καὶ ὁμαλὸν τῆς καταλήψεως ἀνευρύνεται, καὶ ὁ τῶν διαβουλίων ὄχλος διασκεδασθήσεται· ὅτι μὲν γὰρ τῶν ἱερῶν ἀποστόλων αἱ παναγεῖς καὶ τελεστικαὶ τῆς εὐσεβείας πράξεις, ἱερουργοῦσαι τὸ βάπτισμα, ὀνόματι Ἰησοῦ Χριστοῦ λέγονταί τοῦτο τελεσιουργεῖν, οὐδεὶς τῶν ἀκοὴν ὑγιαίνουσαν ἐχόντων ἀντιλέγειν ὑποστήσεται· τίνα δὲ διάνοιαν τὰ τοιαῦτα ῥήματα καὶ ὀνόματα ἀναπτύσσει καὶ διερμηνεύει, οὐκέτι παντός ἐστι συνιέναι. Λέγει μὲν οὖν ὁ κορυφαῖος Πέτρος, εἰς μετάνοιαν τοὺς Ἰουδαίους ἐπαλείφων, καὶ συγγνώμην εὐαγγελιζόμενος τῆς μιαιφονίας, «βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν»· καὶ πάλιν ἐκ θείας ἐπιπνοίας

1) ὃ δὲ ΑΡ. καὶ ΒΜ, σομπλέκειν. — 2) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ, καὶ ΒΜ. λείπει τὸ οἷατε, ἀναγκαῖον ὂν εἰς τὴν σύνταξιν τοῦ λόγου. — 3) Τῆς ἀκριβείας ΒΜ. — 4) Λείπει τὸ «μετὰ τὸν θάνατον» ἐκ τοῦ ΒΜ, κεῖται δὲ ἐν τῇ Λατιν. μεταφρ. — 5) Ματθ. κη, 19. — 6) Τὰ «δὲ πρὸς ἕτερον» λείπουσιν ἐκ τοῦ ΒΜ. — 7) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει τὸ ἔνοχοι.

τὸν ἑκατόνταρχον βαπτίσασθαι προτραπείς, αὐτόν τε Κορνήλιον καὶ τοὺς μετ' αὐτοῦ τῆς παλιγγενεσίας ἀξιοῖ, τὸ δῶρον αὐτοῖς τῆς ἀφέσεως ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἱερουργῶν» 1). Καὶ κατὰ τὴν Ἔφεσον δὲ ἦσαν μαθηταί, οἱ μόνον τῷ τοῦ Ἰωάννου βαπτίσματι ἐβαπτίσαντο, οὕς, καὶ ἀκούοντας τοῦ Παύλου διδάσκοντος, ἡ ἱστορία ἀναγράφει, ἐπιθέντος αὐτοῖς τοῦ ἀποστόλου τὰς ἱλαστηρίους χεῖρας, εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τὸ οὐράνιον τῆς υἱοθεσίας δῶρον δέξασθαι, καὶ τῆς ἐπιφοιτήσεως ἀπολαῦσαι τοῦ παναγίου πνεύματος 2)· καὶ μυρία δὲ ἄλλα τοιαῦτα κατὰ τὸν ὅμοιον τῶν ῥημάτων τύπον τοῦ βαπτίσματος ἐξενηνεγμένα ἀταλαιπώρως ἐστὶ καταλαμβάνειν. Πλήν, ὡς εἴρηται πολλάκις, τὸ πρόχειρον τῆς ἑρμηνείας τῷ βάθει καταδυόμενον τῆς ἱερᾶς διανοίας, ἂν μὴ προσλάβῃ τὴν φιλολογοῦσαν βάσανον καὶ μελέτην, τῆς ἀσαφείας καὶ τῆς κατὰ τὴν ὑπόληψιν στάσεως οὐκ ἐθέλει ἀπαλάττεσθαι· καὶ γὰρ ἡ κατὰ τὰς φωνὰς ἀδιάκριτος συγκατάθεσις καὶ ἡ κατὰ τὴν ἀπήχησιν τῶν ῥημάτων παραδοχή, ἄλλα τε πολλὰ τῶν ἀτόπων ἐν πολλοῖς πολλάκις ἀπέτεκε, καὶ νῦν ἂν οὐκ εἰς δύο τελετὰς μόνας τὸ φρικτὸν τῆς παλιγγενεσίας διακόψειε, καὶ μυρίας ἄλλας τῇ κατατομῇ προβαινούσας ἐπιδείξει, τὴν πρώτην προσθήκην ἀφορμὴν εὑροῦσα τῶν μετὰ ταύτην, καὶ εἰς πλῆθος ἀπολεπτύνουσα τὸ ἑνιαῖον καὶ ἄτμητον τῆς εὐσεβείας, καὶ τὸ τῆς μυσταγωγίας μονοειδὲς καὶ μονότροπον· ἃς οὐκ ἔστι 3) παραγραφόμενον, οὐδὲ τὴν πρώτην ἐπεισελθοῦσαν, καὶ τὸ προνόμιον τῆς δεσποτικῆς ἐντολῆς νοθεύσασαν, μὴ οὐχὶ συμπαραγράφεσθαι.

§. ε'. Ὅρα δὲ εἰς πόσα κατατέμνει καὶ καταμερίζει τὸ θεῖον καὶ οὐράνιον χάρισμα τῆς υἱοθεσίας ἡ τῶν ῥημάτων, ὡς πολλάκις ἔφημεν, ἀβασάνιστος προσοχή, καὶ τὸ μὴ βούλεσθαι πρὸς τὸ βάθος τῆς ἀληθείας καταδύεσθαι· ἡ μὲν γάρ, κατὰ τὴν ὑπόθεσιν τῶν πρὸς τὰς λέξεις κεχηνότων, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτίζει, ἄλλη δὲ ἐν τῷ ὀνόματι τοῦ Κυρίου μόνον. Τίνι οὖν τῶν εἰρημένων ἐν τῇ τοῦ δώρου τελεσιουργίᾳ χρησώμεθα; οὐκ ἔχουσι γὰρ τὸ παραλλάττον οὐδὲ τὸ προκεκριμένον κεχρῆσθαι τοῖς βουλομένοις αἱ φωναί, καὶ ὁ μίαν τῶν εἰρημένων παραγραφόμενος, ἔδωκεν ὁδόν, δι' ἧς ἕξουσι τὸ κράτος καὶ τῶν ἄλλων αἱ παραγραφαί, καὶ οὕτω πάσας κατὰ πασῶν παρατάττεσθαι συνελάσουσιν, οἶμαι, [οἱ] 4) κατὰ τὴν δεσποτικὴν μυσταγωγίαν τελοῦντες τὸ βάπτισμα· καὶ εἰ δέδοται κατὰ τὰς ἐκφωνήσεις τῆς μυστικῆς υἱοθεσίας τὸ μὲν ἀφελεῖν, τὸ δὲ προσθεῖναι, τί κωλύει πάλιν τοὺς βουλομένους καὶ παρὰ τὰς εἰρημένας ἑτέρας ἐπινοεῖν τελετάς; πόσῳ δὲ μᾶλλον ἀντὶ τῶν οὐκ εἰρημένων, ἣν ἡ τῆς ἀληθείας αὐτῆς ἀπεθέσπισε γλῶσσα, ταύτην κρατύνειν, καὶ κατὰ ταύτην ἐκτελεῖν τὴν παλλιγγενεσίαν, ὅσιόν τε καὶ αἰτίας πάσης ὑπερανεστηκός;

§. ϛ'. Καὶ οὔπω εἶπον τῶν ἐλέγχων τὸ ἄμαχον, ὅτι δώσουσι, κἂν μὴ θέλωσιν, οἱ τὴν δεσποτικὴν μυσταγωγίαν ἀπ' ἀρχῆς λιπόντες, ἀπείρους τὰς τῆς μιᾶς υἱοθεσίας τελετάς, καὶ εἰς χλεύην τὸ χάρισμα περιστήσουσι, βαπτίσουσι δέ, καὶ οὐκέτι τοῦ ἱερέως τὰς θεοπρεπεῖς μυσταγωγοῦντος κλήσεις, ἀλλ' αὐτοῦ γε τοῦ μυουμένου, πρὸ τοῦ μυηθῆναι τὴν μυσταγωγὸν πρᾶξιν ἁρπάζοντος, καὶ τότε οὐχ ἑτέρους, ἀλλ' ἑαυτὸν καθαίροντος τῷ λουτρῷ τῆς παλιγγενεσίας· καὶ γὰρ ἐν αὐταῖς ἐστι τῶν Ἀποστόλων εὑρεῖν ταῖς ἁγιοπρεπέσι Πράξεσιν 5), ὡς τῶν μαθητῶν εἷς ὑπάρχων ὁ Ἀνανίας, καὶ θείας ὄψεως προσταττούσης εἰς τὸν χορὸν τῶν Ἀποστόλων συναγαγεῖν τὸν διώκτην καὶ δεινὸν πολέμιον τῆς εὐσεβείας, τὸν οὔπω Παῦλον γεγονότα, ἡνίκα καὶ τὸ σωματικὸν σκότος τῶν ὄψεων τῇ τῆς χειρὸς ἀφῇ ὁ μυσταγωγὸς τοῦ μυουμένου περιεῖλε, τότε δὴ τότε ὁ Ἀνανίας πρὸς τὸν ἐκ σκότους εἰς τὸ φῶς καὶ τὸν νοῦν καὶ τὰς ὄψεις μεταβεβλημένον, «καὶ νῦν, φησί, τί μέλλεις; ἀναστὰς βάπτισαι, καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλούμενος 6) τὸ ὄνομα τοῦ κυρίου»· σὺ ἐπικαλεσάμενος, ἀλλ' οὐχί τινος ἑτέρου μυοῦντος, οὐδ' ἐπᾴδοντος τὰς θεολόγους κλήσεις. Τί λέγεις; ὁ μυούμενος πρὶν ἢ τυχεῖν τῆς μυήσεως ἐμυσταγώγει; ὁ τῆς παλιγγενεσίας δεόμενος, αὐτὸς ἐνήργει τὴν παλιγγενεσίαν; ὁ τοῦ ἱερέως χερσὶ καὶ χείλεσι τελειούμενος, αὐτὸς τὸ ἐκείνου ἁρπάζων ἀξίωμα, ἑαυτῷ τὴν τελειότητα περιτίθησι; τὸ γὰρ τοῦ γράμματος ἐπιπόλαιον, ᾧ πεποιθότες τὴν δεσποτικὴν ἐντολὴν παραγράφονται, τοῦτο νομίζειν αὐτούς, καὶ μὴ βουλομένους, ἀπαιτεῖ· τρόπος οὖν οὗτος ἄλλος μυήσεως μηδενὶ τῶν προειρημένων συμφερόμενος· Ὅταν δὲ ὁ κορυφαῖος τὰς καθολικὰς παραινέσεις γράφων, τοῖς τῶν Ἰουδαίων ἐν διασπορᾷ, τῷ δρόμῳ τῆς γλώττης καὶ τῷ τάχει τῆς γραφῆς χερσὶν ἀμφοῖν καθυπάτευε 7), «τὸ βάπτισμα συνειδήσεως ἀπεθέσπισεν ἀγαθῆς ἐπερώτημα εἰς Θεόν» 8), οὐκ ἐκ τρίποδος χρώμενος μαντικοῦ, ἀλλ' ἐκ θεολήπτου ψυχῆς ἱερολογῶν· ἀλλ' ἆρα οὐχὶ σὺ πάλιν ἀρ-

1) Πράξ. ϛ. 38 ι, 48. — 2) Πράξ. ιθ, 5 — 3) Οὐκέτι ΒΜ. — 4) Ἡμετ. διόρθ. ἐκ δὲ τοῦ ΒΜ. καὶ ΑΡ. λείπει τὸ οἱ. — 5) Πράξ. θ, 10. — 6) Ἐπικαλεσάμενος ΒΜ. — 7) Λείπει τὸ ῥῆμα ἐν τοῖς Λεξικοῖς. Κομψῶς δὲ διὰ τούτου βούλεται σημαίνειν ὁ Φώτιος ὅτι ὁ Πέτρος, καθὸ κορυφαῖος τῶν ὁμοταγῶν Ἀποστόλων, ὡς ὕπατος διῴκει τὰ τῆς ἰδίας ἀποστολῆς χερσὶν ἀμφοτέραις, τουτ. διπλῇ δυνάμει καὶ ἐνεργείᾳ, διά τε γλώσσης διά τε γραφίδος (ἐπιστολῶν), ταχέως ἐξαπλῶν τοῦ Εὐαγγελίου τὸ κήρυγμα. Ἐπῄνεσε τὸ γλαφυρὸν τῆς φράσεως καὶ ὁ κλεινὸς Μάϊος (σημ. αὐτόθ. σελ. 97), παρεξέτρεψε δὲ τὸ νόημα, ὀνομάζων τὸν Πέτρον ὑπέρτατον κυβερνήτην τῆς ἐκκλησίας, καὶ οἷον ὕπατον πάσης τῆς χριστιανικῆς πολιτείας (ὑπαινιττόμενος δηλονότι τοιούτους καὶ τοὺς ἐν Ῥώμῃ διαδόχους τοῦ Πέτρου). Ἀλλ' ὁ Φώτιος μετὰ τῆς Ἐκκλησίας οὔτ' εἶπεν οὔτ' ἐφρόνησε τοιοῦτον οὐδὲ τὸν Πέτρον αὐτόν, πολλῷ γε ἧττον τοὺς διαδόχους τοῦ Πέτρου· τοὺς Πάπας ὁ Φώτιος! Καὶ ἄλλην δὲ σημείωσιν περὶ τοῦ βαπτίσματος εἰς τοῦτο τὸ ζήτημα προσέθηκεν ὁ Μάϊος, περὶ ἧς βλέπε ἐν τοῖς προλεγομένοις — 8) Α. Πέτρ. γ. 21. Λείπουσιν αἱ τελευταῖαι λέξεις ἐκ τοῦ ΒΜ.